Ακαδημία Αθηνών / Academy of Athens

**ποταμός.** Ποταμός, river, Ξενοφάνης 30.4-6 *οὔτε ῥοαὶ π ο τ α μ ῶ ν ... ἀλλὰ μέγας πόντος γενέτωρ νεφέων ἀνέμων τε καὶ π ο τ α μ ῶ ν* Ἡράκλειτος 12 *π ο τ α μ ο ῖ σ ι τοῖσιν αὐτοῖσιν ἐμβαίνουσιν ἕτερα καὶ ἕτερα ὕδατα ἐπιρρεῖ.*

**ποτέ.** Κάποτε, at some time, Ξενοφάνης 7.2 *καὶ π ο τ έ μιν στυφελιζομένου σκύλακος παριόντα φασὶν ἐποικτῖραι* Μέλισσος 2.4-5 *εἰ μὲν γὰρ ἐγένετο, ἀρχὴν ἂν εἶχεν (ἤρξατο γὰρ ἄν π ο τ ε γενόμενον) καὶ τελευτήν (ἐτελεύτησε γὰρ ἄν π ο τ ε γενόμενον)* Ἐμπεδοκλῆς 117.1 *ἤδη γάρ π ο τ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε τ' οἰωνός τε καὶ ἔξαλος ἔλλοπος ἰχθύς.* || Ἡράκλειτος 16 *τὸ μὴ δῦνόν π ο τ ε πῶς ἄν τις λάθοι;* Παρμενίδης 8.5-12-20-61 *οὐδέ π ο τ' ἦν οὐδ' ἔσται ... οὐδέ π ο τ' ἐκ μὴ ἐόντος ἐφήσει πίστιος ἰσχὺς γίγνεσθαί τι παρ' αὐτὸ ... οὐδ' εἴ π ο τ ε μέλλει ἔσεσθαι ... ὡς οὐ μή π ο τ έ τίς σε βροτῶν γνώμη παρελάσσῃ* Ἐμπεδοκλῆς 16.1 *καὶ ἔσσεται, οὐδέ π ο τ', οἴω* Δημόκριτος 50 *ὁ χρημάτων παντελῶς ἥσσων οὐκ ἄν π ο τ ε εἴη δίκαιος.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**πότιμον** (ἀντιθ. *ἄποτον*). Πόσιμο, drinkable, Ἡράκλειτος 61 *θάλασσα ὕδωρ καθαρώτατον καὶ μιαρώτατον, ἰχθύσι μὲν π ό τ ι μ ο ν καὶ σωτήριον, ἀνθρώποις δὲ ἄποτον καὶ ὀλέθριον.*

**ποτιπίπτειν.** Προσπίπτω / προσκρούω, fall upon / strike against, Ἀρχύτας 1.24 *τὰ μὲν οὖν π ο τ ι π ί π τ ο ν τ α ποτὶ τὰν αἴσθασιν.*

**πότμος** (συνών. *μόρος, θάνατος*). Θάνατος, death, Ἐμπεδοκλῆς 9.4 *δυσδαίμονα π ό τ μ ο ν.*

**πούς.** Πόδι, foot, Ξενοφάνης 2.1-17 *ἀλλ' εἰ μὲν ταχυτῆτι π ο δ ῶ ν νίκην τις ἄροιτο ... οὐδὲ μὲν εἰ ταχυτῆτι π ο δ ῶ ν ... τοὔνεκεν ἂν δὴ μᾶλλον ἐν εὐνομίῃ πόλις εἴη* Ἐμπεδοκλῆς 29.2 καὶ 134.3 *οὐ π ό δ ε ς, οὐ θοὰ γοῦν(α)* 101.2 *κέρματα θηρείων μελέων μυκτῆρσιν ἐρευνῶν ... ἀπέλειπε π ο δ ῶ ν ἁπαλῇ περὶ ποίῃ* Διογένης 6.22-23 *τείνουσιν (sc. αἱ φλέβες) εἰς τὴν κνήμην τε καὶ τὸν π ό δ α καθάπερ καὶ εἰς τὰς χεῖρας. καὶ ἐπὶ τὸν ταρσὸν τοῦ π ο δ ὸ ς καθήκουσι* Δημόκριτος 228.4-6 *οἱ ὀρχησταὶ οἱ ἐς τὰς μαχαίρας*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*ὀρούοντες, ἢν ἑνὸς μούνου ⟨μὴ⟩ τύχωσι καταφερόμενοι, ἔνθα δεῖ τοὺς πόδας ἐρεῖσαι, ἀπόλλυνται (χαλεπὸν δὲ τυχεῖν ἑνός· τὸ γὰρ ἴχνιον μοῦνον λέλειπται τῶν ποδῶν).* || Ξενοφάνης 28.1 *γαίης μὲν τόδε πεῖρας ἄνω παρὰ ποσσὶν ὁρᾶται ἠέρι προσπλάζον, τὸ κάτω δ' ἐς ἄπειρον ἱκνεῖται* Ἡράκλειτος 3 *εὖρος ποδὸς ἀνθρωπείου (*sc. *ἥλιος).*

**πρᾶγμα 1.** Πράγμα/συστατικό, thing/constituent, Φιλόλαος 6.2-6 *ἁ μὲν ἐστὼ τῶν πραγμάτων ἀίδιος ἔσσα ... μὴ ὑπαρχούσας τᾶς ἐστοῦς τῶν πραγμάτων, ἐξ ὧν συνέστα ὁ κόσμος, καὶ τῶν περαινόντων καὶ τῶν ἀπείρων* 11.9-14-17 *οὐ γὰρ ἦς δῆλον οὐδενὶ οὐδὲν τῶν πραγμάτων οὔτε αὐτῶν ποθ' αὐτὰ οὔτε ἄλλω πρὸς ἄλλο, εἰ μὴ ἦς ἀριθμὸς ... νῦν δὲ οὗτος (*sc. *ἀριθμός) ... σχίζων τοὺς λόγους χωρὶς ἑκάστους τῶν πραγμάτων τῶν τε ἀπείρων καὶ τῶν περαινόντων. ἴδοις δέ κα οὐ μόνον ἐν τοῖς δαιμονίοις καὶ θείοις πράγμασι τὰν τῶ ἀριθμῶ φύσιν καὶ τὰν δύναμιν ἰσχύουσαν.* || Δημόκριτος 164.12 *αἱ δὲ περιφερεῖς ταῖς περιφερέσιν ὡς ἂν συναγωγόν τι ἐχούσης τῶν πραγμάτων τῆς ἐν τούτοις ὁμοιότητος.* Πρβλ. *χρῆμα* **2.** Πράγμα/πράξη, thing/action, Δημόκριτος 35 *γνωμέων μὲν τῶνδε εἴ τις ἐπαΐοι ξὺν νόῳ, πολλὰ μὲν ἔρξει πράγματ' ἀνδρὸς ἀγαθοῦ ἄξια, πολλὰ δὲ φλαῦρα οὐχ ἔρξει.* Πρβλ. *πρᾶξις, ἔργον.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**πραγματεία.** Πραγματεία, treatise, Ἀρχύτας 4.5 *καὶ ἃ ἐκλείπει αὖ ἁ γεωμετρία, καὶ ἀποδείξιας ἁ λογιστικὰ ἐπιτελεῖ καὶ ὁμῶς, εἰ μὲν εἰδέων τεὰ πραγματεία, καὶ τὰ περὶ τοῖς εἴδεσιν.*

**πραγματεύεσθαι.** Πραγματεύομαι, study/treat, Ἀρχύτας 4.3 *καὶ δοκεῖ ἁ λογιστικὰ ποτὶ τὰν σοφίαν τῶν μὲν ἀλλᾶν τεχνῶν καὶ πολὺ διαφέρειν, ἀτὰρ καὶ τᾶς γεωμετρικᾶς ἐναργεστέρω πραγματεύεσθαι ἃ θέλει.*

**πραέως.** Μὲ πραότητα, with mildness, Δημόκριτος 46 *μεγαλοψυχίη τὸ φέρειν πραέως πλημμέλειαν.*

**πρᾶξις.** Πράξη, action, Δημόκριτος 55 *ἔργα καὶ πρήξιας ἀρετῆς, οὐ λόγους, ζηλοῦν χρειών* 66 *προβουλεύεσθαι κρεῖσσον*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ